eul_wid: oow-aa

*Φίλων ὁ Βύβλιος* · Philon of Byblos

# On Proper Expression, Epitome under the Name of Herennius Philo

*Περὶ κυριολεξίας*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινή* Koine (frg)
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

1 ΕΚ ΤΩΝ ΤΟΥ ΕΡΕΝ 〈Ν〉 ΙΟΥ ΦΙΛΩΝΟΣ ΠΕΡΙ ΚΥΡΙΟΛΕΞΙΑΣ μηκᾶσθαι ἐπὶ αἰγῶν, μυκᾶσθαι ἐπὶ βοῶν, βληχᾶσθαι ἐπὶ προβάτων.

2 ὑπάγειν ὑπὸ ζυγόν, πορεύεσθαι ἐθελουσίως, ἕρπειν ἐπὶ ἀπόδων.

3 σκύλακες καὶ σκυλάδες ἐπὶ κυνῶν.

4 Σικελὸς ὁ ἐν Σικελίᾳ κατοικῶν βάρβαρος, Σικελιώτης ὁ ἀπὸ Ἑλληνικῆς 〈χώρας〉 ἀποικήσας εἰς Σικελίαν.

5 ἄρχειν μετὰ λόγου, κρατεῖν ἄνευ λόγου.

6 [β]ιοῦν τὸ ἁπλῶς ζῆν, βιοτεύειν τὸ καλῶς ἀναστρέφεσθαι.

7 ἀνακογχυλίσας οὐκ ἀναγαργαρίσας.

8 ἀνακρεμαννύναι οὐ κρεμᾶν.

9 σκηνῆσαι οὐ σκηνῶσαι.

10 ἁλίπαστον τὸ 〈ἁλσὶ〉 πεπασμένον κρέας, ἁλίσπαρτον τὴν ἁλσὶ κατεσπαρμένην χώραν λέγομεν. τῶν γὰρ ἀρχαίων τινὲς βαρβάρων, δυσμενῶς διακείμενοι πρὸς τοὺς Ἕλληνας, τὰς χώρας αὐτῶν ἁλσὶ κατέσπε 〈ι〉 ρον εἰς τὸ μὴ δύνασθαι φέρειν καρπούς· ὅθεν καὶ [ὁ] βίος τοὺς ᾐκισμένους δεινῶς ἁλισπάρτους καλεῖ.

11 [ὀ]ρρωδεῖν τὸ εὐλαβεῖσθαι.

12 ἀρρωδεῖν τὸ καταφρονεῖν καὶ τεθαρρηκέναι.

13 ἁρπάγην ὡς Ἀνάφην, ἐν ᾗ ἐκ τῶν φρεάτων τοὺς κάδδους ἐξαιροῦσιν.

14 βλὰξ ὁ εὐήθης καὶ κοῦφος.

15 ἐν Κυρήνῃ τοὺς ἐφήβους τριακατίους καλοῦσιν, ἐν δὲ Κρήτῃ ἀποδρόμους διὰ τὸ μὴ τῶν κοινῶν δρόμων μετέχειν. Ἀχαιοὶ κούρους, δάκες ἀγούρους.

16 διαβόητος ἐπ’ ἀρετῇ, ἐπιβόητος ὁ ἔχων φήμην μοχθηράν. τοῦτον ἔνιοι τῶν ποιητῶν ἐπίφατον καλοῦσιν.

17 〈 〉 διπλουμένων 〈 〉 .

18 ἔνδον ἐστίν· ἔσω εἰσέρχεται.

19 〈 〉 εὔρασθαι 〈 〉.

20 ἐπιστρεφὴς καὶ εὐστρεφὴς διαφέρει. ἐπιστρεφὴς μὲν γὰρ ὁ ἐπιμελής, εὐστρεφὴς δὲ ὁ ἐπιδέξιος.

21 ἦσθα ἐπὶ παρῳχημένου, ᾖς ἐπὶ μέλλοντος.

22 Ἰταλὸς καὶ Ἰταλιώτης ὡς Σικελὸς καὶ Σικελιώτης.

23 λῆμα ἡ ἀνδρεία, λῆμμα τὸ κέρδος.

24 ὑποψία κακοῦ τινος ὑπόνοια, ὑφόρασις δὲ δόξα ἐπὶ τῶν χειρ〈όν〉ων.

25 νῦν καὶ νυνὶ διαφέρει. τὸ μὲν νῦν ἐπὶ παρεληλυθότος, ἐνεστῶτος καὶ μέλλοντος γράφεται, τὸ δὲ νυνὶ ἐπὶ ἐνεστῶτος μόνου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org